# TEZAUR LITURGIC

## 4 IUNIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MIRONOSIŢE MARIA ŞI MARTA

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΗ Δ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ

**Μνήμη των Αγίων και Δικαίων Γυναικών και Μυροφόρων Μάρθας και Μαρίας, αδελφών του τετραημέρου φίλου του Χριστού Αγίου Λαζάρου**

## ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχού Μικραγιαννανίτου**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις το Κύριε, εκέκραξα, ιστώμεν στίχους δ΄ και ψάλλομεν Στιχηρά Προσόμοια.Ήχος πλ. β΄. Αι Αγγελικαί.

Σύγγονοι σεμναί, του θεόφρονος Λαζάρου, Μάρθα η κλεινή, και θεόληπτε Μαρία, δυάς η μακαρία, ξυνωρίς θεοτίμητε, τον Σωτήρα πάντων και Δεσπότην, οία θεράπαινα και σκεύη, αυτού πάνσεμναι, εκδυσωπείτε εκτενώς, υπέρ των ψυχών ημών.

Πίστει ακλινεί, τω Χριστώ διακονούσα, Μάρθα η θαυμαστή, θείας χάριτος εμπλήσθης· Αυτού δε τους Αχράντους, πόδας μύρω αλείψασα, θείας ευωδίας επληρώθης, σεμνή Μαρία θεοφόρε· διο άπαντες, ως αυταδέλφους θαυμαστάς, υμάς μακαρίζομεν.

Μύρα τω Χριστώ, εκουσίως νεκρωθέντι, και υπέρ ημών, εν τω μνήματι τεθέντι, Μαρία συν τη Μάρθα, ευλαβώς

προσκομίζουσαι, συν λοιπαίς Αγίαις Μυροφόροις, χαράς ηξίωσθε αρρήτου, Αυτώ κράζουσαι· Την Σην Ανάστασιν Σωτήρ, υμνούμεν δοξάζουσαι.

Θείαις αρεταίς, αληθώς κεκοσμημέναι, προς την υπέρ νουν, ευφροσύνην των Αγγέλωνμετέστητε εν δόξη, θεοφόροι αυτάδελφοι, Μάρθα και Μαρία δυσωπούσαι, συν τω Λαζάρω τον Σωτήρα, ευρείν έλεος, τους εορτάζοντας υμών, την μνήμην εκάστοτε.

Δόξα πατρί.

Την εν νόμω δικαιοσύνην πληρούσαι, τον του νόμου δοτήρα ιδείν ηξιώθητε, του βροτείου επειλημμένου είδους, Μάρθα και Μαρία· και Αυτώ διακονήσασαι, και πολλών χαρίτων αξιωθείσαι, της ουρανίου παστάδος ηξιώθητε, σεμνώς τελέσασαι τον βίον· και συν τω θείω ομαίμονι χορεύουσαι, μη παύσησθε πρεσβεύουσαι, υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Αμαρτωλών τας δεήσεις προσδεχομένη, και θλιβομένων στεναγμόν μη παρορώσα, πρέσβευε των εξ αγνών λαγόνων σου, σωθήναι ημάς Παναγία Παρθένε.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β΄. Οίκος του Εφραθά.

Βίον θεοπρεπή, βιώσασαι αμέμπτως, Μάρθα συν τη Μαρία, της ουρανίου δόξης, αξίως ηξιώθητε.

Στιχ. Υπομένων υπέμεινα τον Κύριον, και προσέσχε μοι και εισήκουσε της δεήσεώς μου.

Ω της υπερφυούς, χάριτος και αξίας, υμών σεμναί Γυναίκες! Χριστώ γαρ τω Σωτήρι, πιστώς διηκονήσατε.

Στιχ. Και έστησεν επί πέτραν τους πόδας μου και κατηύθυνε τα διαβήματά μου.

Δήμοις Αγγελικοίς, συνούσαι εν υψίστοις, ω Μάρθα και Μαρία, αιτείσθε ημίν πάσι, πταισμάτων την συγχώρεσιν.

Δόξα. Τριαδικόν.

Αίγλη τρισσολαμπεί, λαμπόμεναι αΰλως, σκότους παθών λυτρούσθε, ημών τας διανοίας, αυτάδελφοι θεόληπτοι.

Και νυν. Θεοτοκίον.

Έδραμον μετά σου, αι αδελφαί Λαζάρου, τω του Υιού σου τάφω, Παρθένε και κατείδον, την τούτον θείαν έγερσιν.

Νυν απολύεις, Τρισάγιον, το Απολυτίκιον εκ του Μεγάλου Εσπερινού και Απόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις το Κύριε, εκέκραξα, ιστώμεν στίχους στ΄ και ψάλλομεν Στιχηρά Προσόμοια.Ήχος α΄. Των ουρανίων ταγμάτων.

Τας αδελφάς του Λαζάρου ύμνοις τιμήσωμεν, Μάρθαν και την Μαρίαν, την λαμπράν ξυνωρίδα· Χριστώ γαρ τω Σωτήρι πίστει θερμή, ευσεβώς διηκόνησαν, και της Αυτού φωταυγείας εν ουρανοίς, μετά τέλος ηξιώθησαν.

Τα γεγραμμένα εν νόμω πληρούσαι πάνσεμναι, εδέξασθε πλουσίως, το της χάριτος φέγγος, ιδούσαι και πιστεύσασαι εκ ψυχής, σαρκωθέντι δι  ἔλεος, τω Ποιητή των αιώνων υπέρ ημών, ως θεόληπτοι αυτάδελφοι.

Διακονούσα ω Μάρθα ψυχής θερμότητι, τω σαρκωθέντι Λόγω, και Αυτού η Μαρία, τους λόγους δεχομένη ομού του φωτός, της Αυτού επιγνώσεως, κατηξιώθητε άμφω ως καθαραί, την ψυχήν και την διάνοιαν.

Έτερα Στιχηρά Προσόμοια.

Ήχος δ΄. Ως γενναίον εν Μάρτυσιν.

Τοις του νόμου προστάγμασι, την ζωήν κατευθύνουσαι, τον του νόμου πάροχον υποδέξασθαι, βροτόν δι  οἶκτον γενόμενον, ω και συγγινόμεναι, διανοία καθαρά, της Αυτού

επιλάμψεως, επληρώθητε, συν τη Μάρθα Μαρία θεοφόρε, και Αυτού της Βασιλείας, συγκληρονόμοι γεγόνατε.

Τω Χριστώ ως αφίκετο, προς υμάς εβοήσατε· Ει ης ώδε Κύριε ουκ αν τέθνηκεν, ο προσφιλής αδελφός ημών, αυτάδελφαι πάνσεμναι, ον εγείρας ο Χριστός, την πολλήν επεδείξατο, ο Φιλάνθρωπος, προς υμάς ευσπλαγχνίαν και αγάπην, σεπταί Μάρθα και Μαρία, αι των Αγγέλων συνόμιλοι.

Τη αγάπη πυρούμεναι του των όλων Δεσπόζοντος, μύρα προσκομίζουσαι παραγίνεσθε, συν Μυροφόρων συστήματι, Αυτού εν τω μνήματι, και την έγερσιν Αυτού, παρ Αγγέλου αστράπτοντος, ως εμάθετε, ευφροσύνης επλήσθητε αφράστου, ω Μαρία τε και Μάρθα, Αυτού το κράτος δοξάζουσαι.

Δόξα. Ήχος δ΄.

Της εν νόμω λατρείας, κατιδούσαι το πέρας, ολοσχερώς Χριστώ εκολλήθητε, τω τας προφητείας πληρώσαντι, τη αφράστω Αυτού κενώσει· τη γαρ προθέσει υμών, προσχών ο Σωτήρ, της Αυτού οικονομίας κοινωνούς ανέδειξε, προσλαβόμενος υμάς, πλούτω αγάπης ωραϊσμένας· διακονούσαι γαρ Αυτώ προθύμω καρδία, της Αυτού

συγκαταβάσεως το μέγαν μυστήριον εμυήθητε· και αξίως πολιτευθείσαι, Μάρθα και Μαρία, αι του Λαζάρου σύγγονοι, Αγγελικής χαράς ομού ηξιώθητε, υπέρ ημών αεί πρεσβεύουσαι.

Και νυν. Θεοτοκίον.

Ο δια σε θεοπάτωρ προφήτης Δαυΐδ, μελωδικώς περί σου προανεφώνησε, τω μεγαλειά σοι ποιήσαντι· Παρέστη η βασίλισσα εκ δεξιών σου. Σε γαρ μητέρα πρόξενον ζωής ανέδειξεν, ο απάτωρ εκ σου ενανθρωπήσαι ευδοκήσας Θεός, ίνα την εαυτού αναπλάση εικόνα, φθαρείσαν τοις πάθεσι, και το πλανηθέν ορειάλωτον ευρών, πρόβατον τοις ώμοις αναλαβών, τω Πατρί προσαγάγη, και τω ιδίω θελήματι, ταις ουρανίαις συνάψη δυνάμεσι, και σώση Θεοτόκε τον κόσμον, Χριστός ο έχων, το μέγα και πλούσιον έλεος.

Είσοδος. Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα.(λα΄ 10, 13-18, 20, 25).

Γυναίκα ανδρείαν τις ευρήσει; τιμιωτέρα δε εστι λίθων πολυτελών η τοιαύτη. Μηρυομένη έρια και λίνον, εποίησεν εύχρηστον ταις χερσίν αυτής. Εγένετο ωσεί ναυς

εμπορευομένη μακρόθεν, συνάγει δε αύτη τον βίον. Και ανίσταται εκ νυκτών, και έδωκε βρώματα τω οίκω, και έργα ταις θεραπαίναις. Θεωρήσασα γεώργιον επρίατο, από δε καρπών χειρών αυτής, κατεφύτευσε κτήμα. Αναζωσαμένη ισχυρώς την οσφύν αυτής, ήρεισε τους βραχίονας αυτής εις έργον. Εγεύσατο ότι καλόν εστι το εργάζεσθαι, και ουκ αποσβέννυται όλην την νύκτα ο λύχνος αυτής. Χείρας δε αυτής διήνοιξε πένητι, καρπόν δε εξέτεινε πτωχώ. Ισχύν και ευπρέπειαν ενεδύσατο, και ευφράνθη εν ημέραις εσχάταις.

Σοφίας Σολομώντος το Ανάγνωσμα.(ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας·

πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ αυτών ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν, Βασιλείς, και σύνετε· μάθετε Δικασταί περάτων γης· ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Σοφίας Σολομώντος το Ανάγνωσμα.(δ΄ 7-15).

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις· και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού. Βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς

εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες, και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν, Ιδιόμελα. Ήχος α΄.

Θείω πόθω του Σωτήρος, πτερωθείσαι την ψυχήν, τοις ίχνεσιν Αυτού ηκολουθήσατε, Μάρθα και Μαρία· και του Ευαγγελίου της χάριτος, σημειωθείσαι τω φωτί, εναρέτων έργων τους καρπούς, Χριστώ προσηγάγετε, ολοτρόπω εφέσει· των γαρ φθαρτών αποστάσαι, της ευσεβείας την οδόν, καλώς διηνύσατε, και αφθαρσίας το γέρας ειλήφατε, παρά Χριστού του Θεού, και Σωτήρος των ψυχών ημών.

Ήχος β΄.

Εν ασθενεία φύσεως, γνώμην ανδρείαν ανελάβετε, ω Μάρθα και Μαρία, αδελφαί παμμακάριστοι· και λίαν πρωΐ, της μίας των Σαββάτων, τω του Σωτήρος μνήματι προσήλθετε, συν Μυροφόροις Γυναιξί· και Αγγέλου οπτασία, την του Κυρίου μαθούσαι Ανάστασιν, ουρανίου φωτός επλήσθητε, ως θεωροί των υπέρ φύσιν· και αξίως της κλήσεως πολιτευθείσαι, θεολήπτω φρονήματι, τω της

αιωνίου ζωής νυμφώνι εσκηνώσατε. Αλλ ὡς ἐχουσα παρρησίαν, πρεσβεύσατε δεόμεθα, υπέρ των ψυχών ημών.

Ἠχος γ΄.

Τω αρχηγώ της ζωής, βροτείας φύσεως επειλημμένω, Μάρθα και Μαρία αι του Λαζάρου αδελφαί, συν δάκρυσι εκράζετε: Ει ης ώδε Κύριε, ουκ αν ετεθνήκει ημών ο αδελφός· και τούτον ζώντα απολαβούσαι, ζωοποιώ του Σωτήρος προστάγματι, δείπνον εποιήσατε, τω άρτω της ζωής, της τούτου ζωηφόροις λόγοις τρεφόμεναι· και συν μεν Μάρθα θεόφρον, προθύμως διηκόνεις· συ δε Μαρία θεόληπτε, πολυτίμω μύρω τους πόδας Αυτού ήλειψας, και ταις θριξίν εξέμαξας· και συν τω Λάζαρω εβοάτε: Κύριε δόξα Σοι.

Ἠχος δ΄.

Των αρετών ταις ιδέαις, την ψυχήν λαμπρύνασαι, λαμπάδες φαειναί ώφθητε, του Ευαγγελίου της ειρήνης, θεοφόροι αυτάδελφοι· του γαρ Σωτήρος τους λόγους έργα ποιούσαι, πάσιν υπεμφαίνετε, την εν Χριστώ γενομένην, του βροτείου γένους ανάπλασιν. Αλλ ὦ Μάρθα και Μαρία, συν τω Λαζάρω πρεσβεύσατε, υπέρ των ψυχών ημών.

Δόξα. Ήχος β΄.

Την τρίπλοκον χορεία, των ιερών αυταδέλφων, Λάζαρον τον θείον, και Μάρθαν και Μαρίαν υμνήσωμεν, ως οικειωτάτους τω Σωτήρι· Αυτώ γαρ δι  εὐσπλαγχνίαν, αναστρεφόμενοι και ομιλούντες, φίλοι Αυτού γεγόνασι, και της αρρήτου δόξης μύσται· παρ  Αὐτοῦ γαρ εδέξαντο το φως της χάριτος, και εν Αυτώ ανακαινισθέντες, της αιωνίου ζωής ηξιώθησαν, ως Αυτού διάκονοι· διο και πρεσβεύουσιν, υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα μου εις σε ανατίθημι, Μήτερ του Θεού· φύλαξόν με υπό την σκέπην σου.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ΄. Έδωκας σημείωσιν.

Έδωκας Φιλάνθρωπε, ταις ιεραίς θεραπαίναις Σου, ταις θερμώς ποθησάσαις Σε, Μάρθα τη θεόφρονι, άμα και Μαρία, γνώσιν την Αγίαν, δι  ἧς Θεόν Σε αληθή, σεσαρκωμένον δι  αγαθότητα, εγνώρισαν και χαίρουσαι, τη υπέρ λόγον σαρκώσει Σου, διηκόνησαν Κύριε, και πιστώς υπηρέτησαν.

Στιχ. Υπομένων υπέμεινα τον Κύριον, και προσέσχε μοι και εισήκουσε της δεήσεώς μου.

Πράξεσι της πίστεως, ως τω Σωτήρι επόμεναι, θεοφόροι αυτάδελφοι, λαμπρώς διαπρέπουσαι, Μάρθα και Μαρία, της ακαταλήπτου, και υπέρ λόγον χαρμονής, και ευφροσύνης μέτοχοι ώφθητε, οσίως διανύσασαι, την πολιτείαν δοξάζουσαι, τον υμάς μετοικίσαντα, προς τα άνω βασίλεια.

Στιχ. Και έστησεν επί πέτραν τους πόδας μου και κατηύθυνε τα διαβήματά μου.

Λάζαρε μακάριε, φίλε Χριστού γνησιώτατε, και Μαρία θεόληπτε, Μάρθα θεοτίμητε, τριας μακαρία, θείων αυταδέλφων, υπέρ υμών δια παντός, εκδυσωπείτε καθικετεύομεν, Τριάδα την υπέρθεον, δούναι ημίν θείον έλεος, και πταισμάτων συγχώρησιν, και ζωήν την αιώνιον.

Δόξα. Ήχος πλ. β΄.

Θεοπρεπώς πολιτευσάμεναι, εν πάση ευσεβεία και ακρίβεια, και τηρήσει θείων εντολών, του Παντοκράτορος Χριστού, επαξίων αμοιβών ηξιώθητε, εν επουρανίοις θαλάμοις, Μάρθα και Μαρία αξιάγαστοι· τω γαρ ξύλω της ζωής αποκατέστητε, και τον τρισάγιον ύμνον Θεώ άδετε,

συν Αγγέλων χοροίς· διο δεόμεθα: Συν αυτοίς πρεσβεύσατε, ρύεσθαι ημάς πάσης θλίψεως.

Και νυν. Θεοτοκίον.

Θεοτόκε, συ ει η άμπελος η αληθινή, η βλαστήσασα τον καρπόν της ζωής· σε ικετεύομεν· Πρέσβευε Δέσποινα, μετά των Αποστόλων, και πάντων των Αγίων, ελεηθήναι τας ψυχάς ημών.

Νυν απολύεις, Τρισάγιον και το Απολυτίκιον.

Ήχος πλ. α΄. Τον Συνάναρχον Λόγον.

Τω Σωτήρι αμέμπτως διακονήσασαι, αι του Αγίου Λαζάρου θείαι αυτάδελφοι, συν τη Μάρθα τη κλεινή, Μαρία πάνσεμνε, και την Ανάστασιν Αυτού, συν Μυροφόροις Γυναιξί, μαθούσαι εκ του Αγγέλου, φωτός εμπλήσθητε θείου, ημίν αιτούσαι τα σωτήρια.

Δόξα. Και νυν. Θεοτοκίον.

Χαίρε πύλη Κυρίου η αδιόδευτος· Χαίρε τείχος και σκέπη των προστρεχόντων εις σε· Χαίρε αχείμαστε λιμήν, και απειρόγαμε· η τεκούσα εν σαρκί τον ποιητήν σου και Θεόν, πρεσβεύουσα μη ελλείπης, υπέρ των ανυμνούντων, και προσκυνούντων τον τόκον σου.

(η της τυχούσης εορτής). Και Απόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α΄ Στιχολογίαν, Κάθισμα.

Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Δυάς η θαυμαστή, των σεπτών αυταδέλφων, υμνείσθω παρ ἡμῶν, υμνωδίαις ασμάτων, Μαρία η θεόσοφος, και η Μάρθα η ένθεος, τα κειμήλια, της του Χριστού Βασιλείας· ω πρεσβεύουσιν, ημίν διδόναι πταισμάτων, συγχώρησιν πάντοτε.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Τω μνήματι Αγνή, του Υιού και Θεού σου, ως έδραμες πρωῒ, της μιας των Σαββάτων, δυάδα την ομαίμονα, συνακόλουθον έσχηκας, μεγαλύνουσαν, του Σου Υιού και Δεσπότου, την Ανάστασιν, μεθ ὧν υμνούμέν σε Κόρη, ως κόσμου αντίλυτρον.

Μετά την β΄ Στιχολογίαν, Κάθισμα.

Ήχος δ΄. Ταχύ προκατάλαβε.

Ομαίμονες σύμψυχοι, ομονοούσαι καλώς, τω λόγω της χάριτος, και εντολαίς του Χριστού, σαφώς ανεδείχθητε, Μάρθα και η Μαρία, αδελφαί του Λαζάρου· όθεν της ουρανίου, ευκληρίας τυχούσαι, απαύστως δυσωπείτε, υπέρ των ψυχών ημών.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Χριστόν ον εκύησας, εις σωτηρίαν ημών, θερμώς αγαπήσασαι, τελειοτάτη ψυχή, Παρθένε Πανάμωμε, Μάρθα και η Μαρία, διηκόνησαν τούτω· όθεν και φωταυγείας, επληρώθησαν θείας, υμνούσαι Θεοτόκε, το μέγα σου μυστήριον.

Μετά τον Πολυέλεον, Κάθισμα.

Ήχος δ΄. Ο υψωθείς εν τω Σταυρώ.

Αι του Λαζάρου αδελφαί θερμή πίστει, συνομιλούσαι τω Θεώ και Σωτήρι, συν τη Μαρία Μάρθα η θεόληπτος, τούτω προσεκόμισαν, και εν τάφω κειμένω, μύρα και την έγερσιν, την λαμπράν του Σωτήρος, καταμαθούσαι έσπευσαν αυτήν, τοις Αποστόλοις αγγείλαι γηθόμεναι.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Ο προ αιώνων γεννηθείς Θεός Λόγος, εκ της ουσίας του Πατρός υπέρ Λόγον, Αυτός ετέχθη Κόρη εκ λαγόνων σου, άνθρωπος γενόμενος, μη τροπήν υπομείνας, και ημάς ανήγαγεν, εκ φθοράς και θανάτου, προς αιώνιαν δόξαν και ζωήν· όθεν υμνούμεν, Παρθένε τον τόκον σου.

Οι Αναβαθμοί· το α΄ Αντίφωνον του δ΄ ήχου.

Προκείμενον.

Υπομένων υπέμεινα τον Κύριον, και προσέσχε μοι και εισήκουσε της δεήσεώς μου.

Στιχ. Και έστησεν επί πέτραν τους πόδας μου και κατηύθυνε τα διαβήματά μου.

Ευαγγέλιον. Εκ του κατά Λουκάν (ι΄38-42,ια΄27-28)

Τω καιρώ εκείνω, εισήλθεν ο Ιησούς εις κώμην τινά· Γυνή δε τις ονόματι Μάρθα υπεδέξατο αυτόν εις τον οίκον αυτής. Και τήδε ην αδελφή καλουμένη Μαρία, η και παρακαθίσασα παρά τους πόδας του Ιησού ήκουε τον λόγον αυτού· η δε Μάρθα περιεσπάτο περί πολλήν διακονίαν· επιστάσα δε είπε· Κύριε, ου μέλει σοι, ότι η αδελφή μου μόνην με κατέλιπε διακονείν; ειπέ ουν αυτή, ίνα μοι συναντιλάβηται. Αποκριθείς δε ο Ιησούς, είπεν αυτή· Μάρθα, Μάρθα, μεριμνάς και τυρβάζη περί πολλά· ενός δε εστι χρεία. Μαρία δε την αγαθήν μερίδα εξελέξατο, ήτις ουκ αφαιρεθήσεται απ αὐτῆς. Εγένετο δε εν τω λέγειν αυτόν ταύτα, επάρασά τις γυνή φωνήν εκ του όχλου, είπεν αυτώ· Μακαρία η κοιλία η βαστάσασά σε και μαστοί, ους εθήλασας. Αυτός δε είπε· Μενούν γε. Μακάριοι οι ακούοντες τον λόγον του Θεού και φυλάσσοντες αυτόν.

Ο Ν΄ Ψαλμός.

Δόξα.

Ταις των Σων Αγίων, πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη, των εμών εγκλημάτων.

Και νυν.

Ταις της Θεοτόκου, πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στιχ. Ελέησόν με, ο Θεός, κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Ιδιόμελον. Ήχος πλ. β΄.

Τω ελθόντι σώσαι γένος ανθρώπων, πιστεύσασαι θερμώς, τα δικαιώματα Αυτού, επληρώσατε, Γυναίκες σεμναί, ανενδότω καρδία· και θεαρέστως βιώσασαι, της ουρανίου λήξεως επέβητε, Μάρθα και Μαρία, αιωνίου χαράς αξιούμεναι· ης και ημείς μετασχοίημεν, ταις προς Θεόν υμών δεήσεσι.

Οι Κανόνες· πρώτον της Θεοτόκου, η της τυχούσης εορτής· και των Αγίων, ου η ακροστοιχίς· Μάρθαν υμνέω και την Μαρίαν. Γερασίμου.

Ωδή α΄. Ήχος δ΄. Ανοίξω το στόμα μου.

Μονάς κατοικήσασαι, τας ουρανίους γηθόμεναι, και αίγλης πληρούμεναι, της υπέρ έννοιαν, Μάρθα πάνσεμνε, ομού συν τη Μαρία, ημίν εξαιτήσασθε, πταισμάτων άφεσιν.

Αΰλω λαμπρότητι, του σαρκωθέντος Θεού ημών, τον νουν ελλαμπόμεναι, σεμναί αυτάδελφοι, εκκολλήθητε, Αυτώ θερμή καρδία, και τούτου τοις ίχνεσιν, ηκολουθήσατε.

Ρημάτων αυτήκοοι, των ζωηφόρων γενόμεναι, Θεού του δι ἔλεος, ενανθρωπήσαντος, Μάρθα ένδοξε, Μαρία θεοφόρε, Αυτώ μετά πίστεως, διηκονήσατε.

Θεοτοκίον.

Θεόν σωματώσασα, τον Υπερούσιον Άχραντε, αράν εξηφάνισας, την του Προπάτορος· όθεν δέομαι, παθών της αμαρτίας, τον νουν μου εκκάθαρον, ίνα γεραίρω σε.

Ωδή γ΄. Τους σους υμνολόγους.

Αμέσως Χριστώ προσομιλούσαι, νοί καθαρώ ως αληθώς, Λαζάρου αι αυτάδελφοι, Αυτόν ωμολογήσατε, Θεόν βροτόν γενόμενον, δια το σώσαι τον άνθρωπον.

Νόμον την σκιαν καταλιπούσαι, φωτί τω της χάριτος Χριστού, προσήλθετε γηθόμεναι, Μαρία παναοίδιμε, και Μάρθα παμμακάριστε, ως καθαραί την διάνοιαν.

Υμνείτε Χριστού την εξουσίαν, ιδούσαι αυτάδελφοι σεμναί, Λαζάρου την Ανάστασιν, και τούτω δείπνον αγιον, εν πίστει εποιήσατε, το μέγα θαύμα κηρύττουσαι.

Θεοτοκίον.

Μη φλέξας την μήτραν σου ο Λόγος, σκηνώσας εν σοι υπερφυώς, την αμαρτίαν έφλεξεν, Αγνής της ανθρωπότητος, φανείς ημίν ως άνθρωπος, δίχα τροπής και συγχύσεως.

Κάθισμα. Ήχος γ΄. Την ωραιότητα.

Χριστού διάκονοι, όντως εδείχθησαν, ως πλήρεις πίστεως, και σκεύη τίμια, αι του Λαζάρου αδελφαί, η Μάρθα και η Μαρία· η μεν γαρ εδέσματα, τούτω πίστει ητοίμασεν, η δε μύρω ήλειψε, και θριξί κεφαλής αυτής, εξέμαξε Κυρίου τους πόδας· όθεν αυτάς άμφω τιμώμεν.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Θεόν κυήσασα, τον απερίγραπτον, περιγραφόμενον, εν ύλη σώματος, και αναπλάττοντα ημάς, Παρθένε εκ της κατάρας, Αυτόν καθικέτευε, ως Υιόν σου και Κύριον, ρύσαι τας ψυχάς ημών, τυραννίδος του όφεως, και σώσαι τους πιστώς σοι βοώντας: Χαίρε η Κεχαριτωμένη.

Ωδή δ΄. Την ανεξιχνίαστον.

Νόμοις πορευόμεναι τοις του Χριστού, Μάρθα και Μαρία αυτάδελφοι, ζωήν αγίαν, εβιώσατε εν γη, και των Αγίων σύσκηνοι, εν τοις ουρανοίς ανεδείχθητε.

Ει ης ώδε Κύριε τω Ιησού, πίστει ακλινεί εβοήσατε, ουν αν θανάτου, ο αυτάδελφος ημών, και φίλος σου εγεύσατο, Λάζαρος ον τάφος εκάλυψεν.

Ως απολαβούσαι τον αδελφόν, ζώντα μεθ  ἡμέρας τας τέσσαρας, φωνή Κυρίου, ανυμνήσατε Αυτού, Θεότητος την δύναμιν, Μάρθα και Μαρία γηθόμεναι.

Θεοτοκίον.

Κόσμου ανακαίνισις εκ της φθοράς, τέξασα Χριστόν Κόρη πέφηνας, τον εκ θανάτου, προς ζωήν την αληθή, ημάς εξαναστήσαντα· όθεν σου την δόξαν κηρύττομεν.

Ωδή ε΄. Εξέστη τα σύμπαντα.

Αμέμπτως βιώσασαι, ως του Χριστού μαθήτριαι, Μάρθα και αρία θεοφόροι, συν τω Λαζάρω τω ιερώ αδελφώ, δόξης της Αυτού εν ουρανοίς, μέτοχοι γεγόνατε, συν Αγγέλοις χορεύοντες.

Ιδούσαι τον Άγγελον, τω τάφω εξαστράπτοντα, του Χριστού συν άλλαις Μυροφόροις, την υπέρ λόγον τούτου

Ανάστασιν, Μάρθα και Μαρίαιερώ, στόματι ηνέσατε, και σαφώς εκηρύξατε.

Τα μύρα κομίζουσαι, συν δάκρυσι τω μνήματι, του σαρκί παθόντος και ταφέντος, φωτί τω θείω περιηυγάσθητε, Μάρθα και Μαρία μυστικώς, της Αυτού εγέρσεως, ως δοχεία της χάριτος.

Θεοτοκίον.

Ηλίου λαμπρότατον, δικαιοσύνης όχημα, τούτον σωματώσασα ατρέπτως, ώφθης Παρθένε Μήτερ Ανύμφευτε· όθεν καταλάμπρυνον καμέ, σκότει συνεχόμενον, των πολλών παραβάσεων.

Ωδή στ΄. Την θείαν ταύτην.

Νεκρόν δι οἶκτρον γενόμενον, τον πάσι την ζωήν παρεχόμενον, ου κατελείψατε, αλλ ἐν τω μνήματι σπεύσασαι, κατείδετε την τούτου, θείαν Ανάστασιν.

Μεγίστης δόξης ετύχετε, ω Μάρθα και Μαρία πανεύφημοι, διακονήσασαι, τω βροτωθέντι δι ἔλεος, και των βροτών την φύσιν, αθανατίσαντι.

Αγιωσύνη κοσμούμεναι, ως θείαι του Σωτήρος μαθήτριαι, θείον διάδημα, αθανασίας εδέξασθε, ω Μάρθα και Μαρία, Λαζάρου σύγγονοι.

Θεοτοκίον.

Ρύσαι ημάς πάσης θλίψεως, και πάσης προσβολής του αλάστορος, Παρθένε Άχραντε, τους ακλινώς πεποιθότας σου, και προς οδόν ευθείαν, ημάς οδήγησον.

Κοντάκιον. Ήχος β΄. Τοις των αιμάτων σου.

Των αδελφών την δυάδα την πάντιμον, τας του Λαζάρου συγγόνους τιμήσωμεν, Μαρίαν και Μάρθαν εν άσμασιν, ως αν αυτών ικεσίαις προς Κύριον, πταισμάτων συγχώρησιν λάβωμεν.

Ο Οίκος.

Τω σαρκωθέντι δι  ἡμᾶς, και σώσαντι τον κόσμον, Χριστώ τω πάντων Βασιλεί, πιστεύσασαι προθύμως, τούτου μαθήτριαι αληθείς, και μυροφόροι ώφθητε, ω Μάρθα και Μαρία, δυάς ηγιασμένη· και τον ομαίμονα υμών, ήδη τετραήμερον και οδωδότα εν τάφω κείμενον, τη ζωοποιώ αυτού φωνή ζώντα απολαβούσαι, τα της θεότητος Αυτού μεγαλεία, και την μεγίστην εξουσίαν ηνέσατε φωνή μεγάλη· και εκουσίως θανόντι και ταφέντι, και τάφω τεθειμένω, μύρα προσκομίσασαι συν ταις λοιπαίς Αγίαις Μυροφόροις, και της εγέρσεως Αυτού κήρυκες πάσιν ώφθητε· ον

δυσωπείτε δεόμεθα, ως αν πταισμάτων συγχώρησιν λάβωμεν.

Συναξάριον.

Τη Δ΄ του αυτού μηνός μνήμη των Αγίων και Δικαίων Γυναικών και Μυροφόρων Μάρθας και Μαρίας, αδελφών του τετραημέρου φίλου του Χριστού Αγίου Λαζάρου.

Στίχοι.

Εκ Βηθανίας τας αδελφάς Λαζάρου,

Σώζειν δύνασθαι και νεκράς πιστευτέον.

Τετάρτη Μάρθα ηδέ Μαρίη έβησαν πόλω λαμπρώ.

Ωδή ζ΄. Ουκ ελάτρευσαν.

Ιθυνόμεναι, τω φόβω του Παντάνακτος, βίον ενάρετον, και πλήρη έργων καλών, σοφώς διηνύσατε, θείαι αυτάδελφοι, αναμέλπουσαι: Ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Αγαλλόμεναι, τω οίκω επανήλθετε, Λαζάρου σύγγονοι, α πὸ του τάφου Χριστού, ως τούτου εμάθατε, την θείαν έγερσιν, πίστει ψάλλουσαι: Ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Νεκρωθέντα, εν τω Σταυρώ θεώμεναι, ζωής τον Κύριον, δάκρυσι τούτον θερμοίς, το πριν εθρηνήσατε, αλλ ὡς

κατείδετε, την Ανάστασιν, Αυτού χαράς επλήσθητε, ω Μαρία συν τη Μάρθα.

Θεοτοκίον.

Γεωργήσαί με, τον φόβον τον σωτήριον, δίδου μοι δύναμιν, ως αν εχθρού την ισχύν, εις τέλος εκκρούσωμαι, του παναλάστορος, Κόρη Πάναγνε, αμαρτωλών βοήθεια, και βιώσω θεαρέστως.

Ωδή η΄. Παίδας ευαγείς.

Έργοις ευσεβείας, κοσμηθείσαι, μαθήτριαι του Σωτήρος ενθεώτατοι, Μάρθα παμμακάριστε, και Μαρία ένδοξε, προς ουρανόν εδράμετε πόθω κραυγάζουσαι: Τον Κύριον υμνείτε τα έργα και υπερυψούτε, εις πάντας τους αιώνας.

Ρήσεων ακούσασαι Κυρίου, και ζώντα από του τάφου κομισάμεναι, Λάζαρον τον σύγγονον, Άγιαι αυτάδελφοι, μετά την τετραήμερον ταφήν υμνήσατε, το έργον του Σωτήρος το μέγα, δι  οὗ Θεός πάντων, και Κύριος εδείχθη.

Άμωμοι εν τρίβοις του Κυρίου, και άμεμπτοι ευρεθείσαι εσκηνώσατε, εις τα υπέρ έννοιαν, ιερά σκηνώματα, του Παραδείσου πάνσεμνοι πίστει κραυγάζουσαι: Τον Κύριον υμνείτε τα έργα και υπερυψούτε, εις πάντας τους αιώνας.

Θεοτοκίον.

Σκηνή χαριτόπλοκος της δόξης, και οίκος φωτοειδής του Παντοκράτορος, ώφθης Παντευλόγητε, Κόρη Παναμώμητε· διο καμέ ανάδειξον σκεύος επάξιον, της θείας μυστικώς ενεργείας, ίνα σε δοξάζω Υπερδεδοξασμένη.

Ωδή θ΄. Άπας γηγενής.

Ίνα του Χριστού, το σώμα μυρίσητε το ζωοπάροχον, μυροφόροι πάνσεμνοι, τούτου τω τάφω σπουδή προσήλθετε, και την Αυτού Ανάστασιν, πάσιν ηγγείλατε· δια τούτο, υμάς μακαρίζομεν, συν τη Μάρθα Μαρία μακάριαι.

Μάρθαν την σεμνήν εν ύμνοις, τιμήσωμεν πάντες φιλέορτοι, και τον θείον Λάζαρον, και την Μαρίαν την θεοτίμητον, και προς αυτούς βοήσωμεν: τριας υπέρτιμε, αυταδέλφων, ιερών πρεσβεύσατε, τω Σωτήρι υπέρ των ψυχών ημών.

Οι της του Χριστού, αυτόπται και μάρτυρες θείας σαρκώσεως, και σεπτοί διάκονοι, Λάζαρε μάκαρ, Μαρία ένδοξε, και Μάρθα παναοίδιμε, ημών την αίνεσιν, ώσπερ δώρον, ευτελές προσδέξασθε, και αιτείσθε ημίν χάριν άνωθεν.

Θεοτοκίον.

Ύδωρ της ζωής, Χριστόν ως κυήσασα κόσμω επήγασας, κρήνη ανεξάντλητε, θείας χρηστότητος Κόρη Πάναγνε· όθεν καμοί επόμβρησον, σταγόνα χάριτος, φλεγομένω, των πταισμάτων άνθραξι, Θεοτόκε και σώσόν με δέομαι.

Εξαποστειλάριον. Ήχος γ΄. Ο ουρανόν τοις άστροις.

Όλη ψυχή Κυρίω, τω σαρκωθέντι δι ἡμᾶς, Μάρθα ομού και Μαρία, ακολουθούσαι ευσεβώς, της ουρανών βασιλείας, γεγόνατε κληρονόμοι.

Θεοτοκίον.

Τον σαρκωθέντα Λόγον, εκ της Αχράντου σου σαρκός, ικέτευε Θεοτόκε, υπέρ ημών δια παντός, όπως ρυόμεθα πάσης, οργής, φθοράς και ανάγκης.

Εις τους Αίνους, ιστώμεν στίχους δ΄ και ψάλλομεν Στιχηρά Προσόμοια. Ήχος α΄. Πανεύφημοι Μάρτυρες.

Λαζάρου αυτάδελφοι σεμναί, σκεύη καθαρώτατα, της επιπνοίας της κρείττονος, του Παντοκράτορος, Μάρθα και Μαρία, του Χριστού Μαθήτριαι, και θείων Μυροφόρων ομόσκηνοι, Αυτω πρεσβεύσατε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην και το μέγα έλεος.

Χριστώ ομιλούσαι νουνεχώς, και Αυτού δεχόμεναι, διδασκαλίαν την ένθεον, Αυτόν εγνώκατε, Θεόν και

Δεσπότην, σάρκα περιθέμενον, του σώσαι τον Αδάμ τον πρωτόπλαστον, Μάρθα πανεύφημε, και Μαρία αξιάγαστε, και της θείας, δόξης ηξιώθητε.

Νεκρόν τετραήμερον Χριστός, Λάζαρος ως ήγειρεν, υμών τον θείον ομαίμονα, θάμβους επλήσθητε, και το μεγαλείον, της Αυτού θεότητος, υμνήσατε Γυναίκες θεόφρονες, Μάρθα θεόληπτε, και Μαρία θεοτίμητε· δια τούτο, υμάς μακαρίζομεν.

Τω τάφω Χριστού μετά σπουδής, προσελθούσαι πάνσεμνοι, εκ του Αγγέλου εμάθατε, Αυτού την έγερσιν, και ζωήν αγίαν, θεοφρόνως ζήσασαι, ζωής της αιωνίου ετύχετε, εν η πρεσβεύσατε, συν Λαζάρω, Μάρθα πάντιμε, και Μαρία, υπέρ των ψυχών ημών.

Δόξα. Ήχος πλ. α΄.

Του Σωτήρος Χριστού, τω ακηράττω κάλλει ατενίζουσαι, επαξίως επολιτεύσασθε, Άγιαι αυτάδελφοι, Μάρθα και Μαρία· τας γαρ ρήσεις Αυτού, εν τω ταμείω της ψυχής κατέχουσαι, των ρεόντων και φθαρτών τους όρους υπερέβητε, εν τη χορηγία της άνωθεν ροπής· και τω ομαίμονι Λαζάρω νυν συγχορεύουσαι, συν Αγγέλων χοροίς, συν αυτοίς πρεσβεύσατε, ελεηθήναι τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Δοξολογία μεγάλη και Απόλυσις.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τα Τυπικά και οι Μακαρισμοί, και εκ του Κανόνος των Αγίων η γ΄ και η στ΄ ωδή.

Απόστολος. Προς Γαλάτας (γ΄ 23-29, δ΄ 1-5).(Της κε΄ Νοεμβρίου, όπερ ζήτει τη Πέμπτη της ιε΄ εβδομάδος).

Προκείμενον.

Θαυμαστός ο Θεός εν τοις αγίοις αυτού· ο Θεός Ισραήλ, αυτός δώσει δύναμιν και κραταίωσιν τω λαώ αυτού. Ευλογητός ο Θεός.

Στιχ. Εν εκκλησίαις ευλογείτε τον Θεόν.

Προς Γαλάτας Επιστολής Παύλου το Ανάγνωσμα.

Αδελφοί, προ του ελθείν την πίστιν υπό νόμον εφρουρούμεθα συγκεκλεισμένοι εις την μέλλουσαν πίστιν αποκαλυφθήναι. Ώστε ο νόμος παιδαγωγός ημών γέγονεν

εις Χριστόν, ίνα εκ πίστεως δικαιωθώμεν· ελθούσης δε της πίστεως ουκέτι υπό παιδαγωγόν εσμεν. Πάντες γαρ υιοί Θεού εστε δια της πίστεως εν Χριστώ Ιησού· όσοι γαρ εις Χριστόν εβαπτίσθητε, Χριστόν ενεδύσασθε. Ουκ ένι Ιουδαίος ουδέΈλλην, ουκ ένι δούλος ουδέ ελεύθερος, ουκ ένι άρσεν και θήλυ· πάντες γαρ υμείς εις εστε εν Χριστώ Ιησού. Ει δε υμείς Χριστού, άρα του Αβραάμ σπέρμα εστέ και κατ ἐπαγγελίαν κληρονόμοι. Λέγω δε, εφ ὅσον χρόνον ο κληρονόμος νήπιός εστίν, ουδέν διαφέρει δούλου, κύριος πάντων ων, αλλά υπό επιτρόπους εστί και οικονόμους άχρι της προθεσμίας του πατρός. Ούτω και ημείς, ότε ήμεν νήπιοι, υπό τα στοιχεία του κόσμου ήμεν δεδουλωμένοι· ότε δε ήλθε το πλήρωμα του χρόνου, εξαπέστειλεν ο Θεός τον υιόν αυτού, γενόμενον εκ γυναικός, γενόμενον υπό νόμον, ίνα τους υπό νόμον εξαγοράση, ίνα την υιοθεσίαν απολάβωμεν.

Αλληλούϊα (γ΄). Ήχος α΄. (Ψαλμός λθ΄).

Στιχ. Υπομένων υπέμεινα τον Κύριον, και προσέσχε μοι, και εισήκουσε της δεήσεώς μου.

Και έστησεν επί πέτραν τους πόδας μου και κατηύθυνεν τα διαβήματά μου.

www.tezaurliturgic.ro

Ευαγγέλιον. Εκ του κατά Ιωάννην (ια΄ 1-45)

(Ζήτει τω Σαββάτω του Λαζάρου, εις την Λειτουργίαν).

Κοινωνικόν.

Εις μνημόσυνον αιώνιον έσονται δίκαιοι. Αλληλούϊα.

Μεγαλυνάριον.

Χαίρετε αυτάδελφοι ιεραί, Μάρθα και Μαρία, σεμναί ήθεσι και ζωής χαίρετε Λαζάρου, αι σύγγονοι αι θείαι, μεθ οὗ ημίν αιτείσθε, το θείον έλεος.

Δίστιχον.

Μάρθαν και Μαρίαν ύμνησεν αρτίως,
Γεράσιμος άσμασιν ο εν τω Άθω.

